eul_wid: lmc-aa

*Κρίτων ὁ Ἀργεῖος* · Crito of Argos

# Fragments on Wisdom

*Ἀποσπάσματα περὶ Σοφίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (phi, frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise

109 (3t) Περὶ φρονήσεως Stob. 2.8.24 p. 157 Wa. (Mullach 2 p. 26) Κρίτωνος Πυθαγορείου ἐκ τοῦ Περὶ φρονήσεως. Ὁ γὰρ θεὸς οὕτως ἐτεχνάσατο τὸν ἄνθρωπον, δηλόμενος αὐτὸν μήτ' ἀδυνάτως ἔχειν ποττὰν τῶν καλῶν ὁρμάν, μήτε μὰν πάλιν ἀπροαιρέτως. ἀρχὰν γὰρ αὐτῷ ἐνεφύτευσε τοιαύταν, ἅ τις καὶ τὸ δυνατὸν ἅμα περιέχει καὶ τὸ προαιρετόν, ἵνα τᾶς μὲν δυνάμιος καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ᾖ, τᾶς δ' ἐπὶ ταῦτα παρορμάσιος καὶ κατ' ὀρθὸν λόγον ὀπαδήσιος ὁ θεός. καὶ διὰ τοῦτο ἀναθρῴσκοντα αὐτὸν ἐποίησεν ἐς τὸν οὐρανὸν καὶ αὐτῶ νοατικὸν καὶ ὄψιν αὐτῷ ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, ᾧ τὸν θεὸν ὀψεῖται. οὔτε γὰρ ἄνευ θεῶ τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρεῖν οὔτ' ἄνευ νόω ἰδεῖν τὸν θεὸν αὐτόν, ἐπειδὴ πᾶν τὸ θνατὸν φύσιν ἔχει μετὰ ἀφροσύνας συγγενέος ῥιζοῦσθαι· καὶ ταύταν οὐχ ὁ θεός ἐστιν ὁ δωρούμενος, ἀλλ' ἁ τᾶς γενέσιος οὐσία καὶ τᾶς αὐτῶν ψυχᾶς ἁ προαίρεσις.